Ἡ προθεωρία τῆς Ἠθικῆς περιέχει πέντε.

1. Τὸ ὄνομα· καὶ τοῦτο
   1. τὴν ἐτυμολογίαν· ὅτι ἡ Ἠθικὴ λέγεται, ἢ ἀπὸ τοῦ ἔθους, τὸ ἐθίζεσθαι γάρ, τὰ ἤθη ἐμποιεῖ τοῖς ἀνθρώποις· ἢ ἀπὸ τῶν ἠθῶν, περὶ γὰρ τὰ ἤθη καταγίνεται αὕτη ἡ τέχνη.
   2. τὴν συνωνυμίαν· καλεῖται γάρ
      1. πολιτική - - - - } συνεκδοχικῶς.
      2. φιλοσοφία πρακτική }
      3. φιλοσοφία, κατ' ἐξοχήν.
2. Τὸν ὁρισμόν· ὅτι ἡ Ἠθικὴ ἐστὶ μέθοδος περὶ τὰς ἀρετάς, πῶς δι' αὐτῶν ὁ ἄνθρωπος καλῶς καὶ εὐδαιμόνως ζήσεται διδάσκουσα. ἄλλως· ἡ Ἠθικὴ ἐστὶ μέρος τῆς πρακτικῆς φιλοσοφίας περὶ τῆς ἀρετῆς καὶ τοῦ ἀνθρωπίνου ἀγαθοῦ.
3. Τὸ ὑποκείμενον· ὅτι τὸ δεκτικὸν ὑποκείμενον αὐτῆς ἐστιν ἄνθρωπος, καθὸ δεκτικὸς εὐδαιμονίας, ἤτε, καθὸ ἐστέρηται τοῦ ἀγαθοῦ, ἢ τούτου ἐστὶ δεκτικός. οὐκ ἔστι δὲ ταύτης τῆς διδασκαλίας οἰκεῖος ἀκροατὴς ὁ τυχών, ὥσπερ οὐδὲ τῶν ἄλλων ἐπιστημῶν ἐστι δεκτικός· ἀλλὰ ὅστις καὶ ἀγωγῆς καλῆς ἔτυχε, καὶ τῶν ἐν τῷ βίῳ πραγμάτων ἔμπειρός πως ἐστίν.
4. Τὸ τέλος· διχῶς
   1. Τὸ πρῶτον· καὶ τοῦτο διχῶς
      1. τὸ ἐγγύτερον, τὸ κοσμεῖν καὶ παιδεύειν τὸν ἄνθρωπον διὰ τῆς ἀρετῆς. καλεῖται τέλος, καὶ τὸ ἔσω τέλος.
      2. τὸ δυσεύρετον· ἡ εὐδαιμονία ἤτοι τοῦ βίου· καλεῖται καὶ τὸ ἔξω.
   2. Τὸ δεύτερον· ἕκαστον καλῶς ἑαυτῷ χρῆσθαι καὶ τοῖς ἄλλοις ἀνθρώποις.
5. Τὴν διαίρεσιν, ἤτε τὰ μέρη· εἰσὶ δὲ δύο μέρη τῆς ἠθικῆς
   1. περὶ τῆς εὐδαιμονίας, ἤτε, τοῦ ἀγαθοῦ.
   2. περὶ τῶν ἀρετῶν, δι' ὧν τοῦ ἀγαθοῦ ἤτοι τυγχάνουσι

http://digital.slub-dresden.de/ppn347224571/53